eul_wid: gyu-aa

*Τραγικὰ Ἀδέσποτα* · Tragica Adespota

# Fragments of Tragic Lament

*Ἀποσπάσματα Θρήνων Τραγικῶν*

**Period:** *Κλασική* Classical
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1 [ln_1]βρυαζούσης λεαίνης
book 2.1 ὀλόμενε
book 2.2 παίδων, ποῖον εἴρηκας λόγον;
book 4.1 τοῦ μὲν δικαίου τὴν δόκησιν ἄρνυσο, τὰ δ’ ἔργα
book 4.2 τοῦ πᾶν δρῶντος ἔνθα κερδανεῖ.
book 5 ἐχθρὸς μὲν ἁνήρ, ἀλλὰ τὴν δίκην σέβω.
book 6 [ln_1]ὀλόμαν ὀλόμαν ἀποχηρωθείς
book 7.1 [ln_1]λεπτοσπαθήτων
book 7.2 χλανιδίων ἐρειπίοις θάλπουσα καὶ ψύχουσα καὶ πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα τὸν μεθ’ ἡμέραν
book 8.1 [ln_1]οἰκτρῶς θανεῖν μ’ ἄνωγε σύγγαμος
book 8.2 πατήρ
book 9.1 [ln_1]σὺ δ’ ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους, ξαίνεις ἀρίστου
book 9.2 πατρὸς Ἑλλήνων γεγώς;
book 10.1 [ln_1]τίς δ’ ἄν
book 10.2 σε νύμφη, τίς δὲ παρθένος νέα δέξαιτ’ ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας.
book 11 [ln_1]πᾶν εὐμαρὲς θεοῖσι κοὐδαμῇ μακράν.
book 12 ἐλευθέραν μέν, ὡς ἔφυν, δούλην δὲ νῦν
book 14 σωτῆρες ἔνθα κἀγαθοὶ παραστάται
book 16 μάτην ἀδήλους ἐλπίδας καραδοκῶν
book 17.1 ὦ δαῖμον ὅς μ’ εἴληχας, ὡς
book 17.2 πονηρὸς εἶ.
book 18 σιγῶ· σιωπὴ δ’ ἐστὶ τοῦ θυμοῦ τροφή.
book 20 ἐν βροτοῖς αὐδώμενος
book 22 ἀείζων πένθος

book 23 ἀντίον δορὸς ὀρνύμενος Ἀχιλλέως

book 24 μισῶ παρ’ ἐχθρῶν θῶπας εὐειδεῖς λόγους.

book 25 πρὸς σὲ πελάζω τὸν ὀπισθοβάτην πόδα γηροκομῶν.

book 26 καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον ὄψει διαθρῶν· οὐδὲν ἦν πάντῃ καλὸν οὐδ’ αἰσχρόν, ἀλλὰ ταὔτ’ ἐποίησεν λαβὼν ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά.

book 27.1 τὸ μέν

book 27.2 τι χαίρω, τὸ δέ τι καὶ λυπούμεθα.

book 28.1 μισῶ τὸν ἄνδρα τὸν διπλοῦν

book 28.2 πεφυκότα, χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς

book 28.3 τρόποις.

book 29.1 οὐκ οἶδ’ ὅπως

book 29.2 χρὴ .. σαφῶς κατειδότα τῆς Ἡρακλείας

book 29.3 φροντίδος κατηγορεῖν.

book 30.1 οὐκ οἶδα· τἀληθὲς γὰρ ἀσφαλὲς

book 30.2 φράσαι.

book 31.1 οὐκ ἀξιῶ μικρῶν

book 31.2 σε, μεγάλα δ’ οὐκ ἔχω.

book 32 τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ’ οἱ θεοὶ ..... δοῖεν

book 33 πυρὸς δ’ ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην

book 34.1 οἴκημα καμπαῖς

book 34.2 πολυπλόκοις

book 35.1 ἤτοι

book 35.2 στρατεύσεις ἢ μένων ἔσῃ κακός.

book 36.1 μαίνεται δ’ ὅστις βροτῶν

book 36.2 ψυχῆς νομίζει

book 36.3 τοὺς φίλους ὑπερτέρους.

book 37.1 κακοῦ γὰρ ἀνδρός ἐστι

book 37.2 τοὺς καινοὺς φίλους

book 37.3 τιμᾶν, ἀτιμάζειν δὲ τοὺς

book 37.4 παλαιτέρους.

book 38 ὦ Ἡράκλεις

book 39 ..... ἔφορος οἰάκων ..

book 40 φίλων γὰρ ἄρξεις μὴ κρατῶν ὅσον θέλεις.

book 41.1 στυγῶν μὲν ἄστυ, τὸν δ’ ἐμὸν δῆμον

book 41.2 ποθῶν

book 42 δυσπινῆ πεπλώματα

book 43.1 ὦ Ζεῦ πανόπτα καὶ κατόπτα

book 43.2 πανταχοῦ

book 44.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄπελθε λαΐνων

book 44.2 σταθμῶν

book 45.1 ὦ κλεινὸν ὄμμα, νῦν

book 45.2 πανύστατόν ς’ ἰδὼν λείπω φάος τόδ’· οὐκέτ’ 〈οὐδέν〉 εἰμ’ ἐγώ.

book 46.1 τί δῆτα

book 46.2 χεῖρες οὐκ ἂν ἐργασαίατο;

book 47.1 ὡς ἐγγὺς ἤδη δαίμονος

book 47.2 πεδαρσίου δίνης

book 47.3 πτερωτὸς

book 47.4 φθόγγος ἐξακούεται.

book 48.1 ὦ μῶρε μῶρε, μὴ θεῶν κίνει

book 48.2 φρένας

book 51 .. γυναικῶν θηλύφρων ξυνουσία

book 52.1 οὐ γάρ

book 52.2 ποθ’ ὑγιὲς οὐδὲν ἐξελήλυθεν δράσους’· ὅμως δ’ οὖν ἐστι καρτερητέον.

book 53 Οὐλύμπου νόμον

book 55 λεπτή τις ἐλπίς ἐστ’ ἐφ’ ἧς ὀχούμεθα.

book 56 Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.

book 57.1 τί μοι

book 57.2 σκυθρωπὸς ἐξελήλυθας δόμων;

book 58 ὦ πότνι’ Εἰλείθυια

book 59.1 ναὶ ναί, καταιδέσθητι

book 59.2 πατρῷον Δία.

book 60 τί δ’ ἣν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος;

book 61.1 ὃς θεσπιῳδεῖ τρίποδος ἐκ

book 61.2 χρυσηλάτου

book 62.1 καὶ προσκυνῶ γε

book 62.2 πρῶτα μὲν τὸν Ἥλιον, ἔπειτα

book 62.3 σεμνῆς

book 62.4 Παλλάδος κλεινὸν πέδον χώραν

book 62.5 τε πᾶσαν Κέκροπος ἥ μ’ ἐδέξατο.

book 63 ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

book 64.1 ποντίῳ σάλῳ κάμνοντας ἐν

book 64.2 χειμῶνι καὶ ναυαγίαις

book 65.1 θάσσεις τάσδε

book 65.2 τυμβήρεις ἕδρας

book 66.1 βάυζε

book 66.2 τοὐμὸν σῶμα βάλλουσα ψόγῳ.

book 67

Eulogikon public reading copy · View original HTML at eulogikon.org

..... στρέψον ἀνταυγεῖς κόρας.

book 68 τί δ' ἔστιν, ὦ παῖ; παῖδα γάρ, κἂν ᾖ γέρων, καλεῖν δίκαιον ὅστις ἄν ....

book 69.1 ἄγ' ὦ μεγαλώνυμα τέκνα

book 69.2 τοῦ θαλασσίου 〈θεοῦ〉

book 70 νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ;

book 71 μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου ..

book 72.1 ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω, Ἄρης κατέσκηψ', ἔς

book 72.2 τε μονομάχου πάλης ἀγῶνα νῦν ἑστᾶσιν.

book 73 ἄκων κτενῶ σε, τέκνον.

book 74 ἐγώ ς' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον.

book 75 ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφος

book 76 ἅλις ἐγὼ δυστυχῶν.

book 77 μόχθος οἱ τηλοῦ φίλοι.

book 78.1 οἵ τοι πέρα

book 78.2 στέρξαντες οἵδε καὶ πέρᾳ μισοῦσιν.

book 79 ἀθάνατον ὀργὴν μὴ φύλασσε θνητὸς ὤν.

book 80.1 εἴπερ γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν ἀκουσίως δίκαιον εἰς ὀργὴν

book 80.2 πεσεῖν, οὐδ' ἂν ἀναγκασθείς

book 80.3 τις εὖ δράσῃ τινά, προσῆκον οἶμαι τῷδ' ὀφείλεσθαι χάριν.

book 81.1 καὶ σὸς μὲν οἰκτρὸς

book 81.2 παῖδας ἀπολέσας

book 81.3 πατήρ· Οἰνεὺς δ' ἄρ' οὐχὶ κλεινὸν ἀπολέσας γόνον;

book 82.1 πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν

book 82.2 φρενῶν μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα τὰς

book 82.3 συμφορὰς λάβωσιν ἐπιφανεστέρας.

book 83 λιμένας εἰς Ἀχαϊκούς

book 84.1 λόγχην ἣν

book 84.2 φοροῦσι γηγενεῖς

book 85.1 σπείρων θεοκτίσταν

book 85.2 φλόγα

book 86 Ἀχιλλέως πέρι

book 87 στέψατε δώματα

book 88 οὐ κατθανεῖν γὰρ δεινόν, ἀλλ' αἰσχρῶς θανεῖν.

book 89 καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἣ δ' ἐπεισρέει.

book 90.1 ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους

book 90.2 στρώννυ

book 90.3 τε κοίτας καὶ πυρὸς

book 90.4 φλέξον μένος, κρατῆρά τ' αἶρου καὶ τὸν ἥδιστον κέρα.

book 91.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπόλωλα· πέπλων μ’ ὤλεσαν

book 91.2 περιπτυχαί.

book 92.1 κακός

book 92.2 σε δαίμων καὶ κακὴ τύχη λάβοι.

book 93 μέλη πάραυλα κἀκρότητα κύμβαλα

book 94 τηλοῦ φίλοι ναίοντες οὐκ εἰσὶν φίλοι.

book 95.1 πᾶσιν δὲ θνητοῖς βούλομαι

book 95.2 παραινέσαι

book 95.3 τοὐφήμερον ζῆν ἡδέως· ὁ γὰρ θανὼν τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός· μικροῦ δὲ βιότου ζῶντ’ ἐπαυρέσθαι

book 95.4 χρεών.

book 96.1 ἴσχειν κελεύω

book 96.2 χεῖρα διψῶσαν φόνου.

book 97 λαβὼν ἀριστόνικον ἐν μάχῃ κράτος

book 98 ἐγὼ δὲ φεύξομαί 〈γ’〉 ἐλεύθερος γεγώς.

book 99.1 πῶς οὖν τάδ’ εἰσορῶντες ἢ θεῶν γένος εἶναι λέγωμεν ἢ νόμοισι

book 99.2 χρώμεθα;

book 100.1 πόντου

book 100.2 πλάνητες Λευκοθέαν ἐπώνυμον

book 101.1 σεμνὸς

book 101.2 Παλαίμων ναυτίλοις κεκλήσεται.

book 102.1 τὸ μέλλον οὐδεὶς ἀσφαλῶς ἐπίσταται· ἡ γὰρ τύχη βραχεῖαν ἢν λάβῃ ῥοπήν, καὶ τοὺς

book 102.2 ταπεινοὺς ....... καὶ τοὺς ἀφ’ ὕψους εἰς ζόφον κατήγαγεν.

book 103 Αἴσωνος υἱὸς Κρηθέως ἀφ’ αἵματος

book 104 δέδοικα δὴ μή τοι νοήσῃς, Οἰδίπου

book 105 ἄλλοις ἐν ἐσθλοῖς τόνδ’ ἀπωθοῦνται ψόγον

book 106.1 ἡ δεῦρ’ ὁδός

book 106.2 σοι τί δύναται, θεοπρόπε;

book 107 πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων.

book 108.1 ἄπερρε· μή μοι

book 108.2 στέφανον ἀμφιθῇς κάρᾳ.

book 109.1 Μιλησία

book 109.2 σμάραγδος ἐμπόλημα

book 109.3 τιμαλφέστατον

book 110.1 οὐκ ἦν ἄρ’ οὐδὲν πῆμ’ ἐλευθέραν δάκνον

book 110.2 ψυχὴν ὁμοίως ἀνδρὸς ὡς ἀτιμία. οὕτως πέπονθα καί με

book 110.3 συμφορᾶς ἀεὶ βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει[ln_5]λύσσης

book 110.4 πικροῖς κέντροισιν ἠρεθισμένον.

book 111.1 .. ἔμοιγε νῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 111.2 τε καὶ πάλαι δοκεῖ· παῖδας

book 111.3 φυτεύειν οὔποτ’ ἀνθρώπους ἐχρῆν πόνους ὁρῶντας εἰς ὅσους

book 111.4 φυτεύομεν.

book 112.1 ὦ δυστυχεῖν φὺς καὶ κακῶς

book 112.2 πεπραγέναι, ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο

book 112.3 τρέφειν ὅδ’ αἰθὴρ ἐνδιδοὺς θνητοῖς

book 112.4 πνοάς·[ln_5]μή νυν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει.

book 113 πόλλ’ ἀπιστία δέδρακεν ἀγαθὰ 〈καὶ〉 πίστις κακά.

book 114.1 ἃ δ’ ἐκπυθέσθαι τῆς ἐμῆς

book 114.2 χρῄζεις

book 114.3 φρενός, οὔτ’ ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου δεινὸν καθιεὶς

book 114.4 πρίον’ εἰς ἄκρους πόδας πύθοι’ ἄν, οὐδ’ εἰ δεινὰ πάντα

book 114.5 προσβάλοις.

book 115.1 τοῦ σώματος γὰρ εἵνεχ’ οἱ πολλοὶ πόνοι, τοῦδ’ εἵνεκ’ οἶκον

book 115.2 στεγανὸν ἐξηυρήκαμεν λευκόν τ’ ὀρύσσειν ἄργυρον

book 115.3 σπείρειν

book 115.4 τε γῆν, τά τ’ ἄλλ’ ὅς’ ἡμεῖς ὀνόμασιν γιγνώσκομεν.

book 116 ὁθούνεκ’ ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει, αὐτὴ δ’ ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει.

book 117 ἄγαλμα θεῖον καὶ θεῷ προσεμφερές

book 118.1 τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένος εὔπιστος ἀνδρῶν ὅστις ἐλπίζει θεοὺς ὀστῶν ἀσάρκων καὶ χολῆς

book 118.2 πυρουμένης, ἃ καὶ κυσὶν

book 118.3 πεινῶσιν οὐχὶ βρώσιμα,[ln_5]χαίρειν ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε;

book 119.1 [πρόσεστιν ἀεὶ τῷ πένητ’ ἀπιστία, κἂν

book 119.2 σοφὸς ὑπάρχῃ κἂν λέγῃ τὸ συμφέρον, δοκεῖ τι

book 119.3 φράζειν

book 119.4 τοῖς ἀκούουσιν κακῶς.] τῶν γὰρ

book 119.5 πενήτων πίστιν οὐκ ἔχει λόγος·[ln_5]ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν

book 119.6 ψευδηγορῇ, δοκεῖ τι

book 119.7 φράζειν

book 119.8 τοῖς ἀκούουσιν

book 119.9 σαφές.

book 120 ὦ παῖ, φυλάσσου μὴ σφαλῇς· ἡ γλῶσσά τοι αὐτὴ μὲν οὐδέν, ἡνίκ’ ἂν λέγῃ, πονεῖ, ὅταν δ’ ἁμάρτῃ, πολλὰ προσβάλλει κακά.

book 121 ἐδεξάμην, ἔτικτον, ἐκτρέφω, φιλῶ.

book 122 κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με.

book 123 κακὸν κακῶς σέ γ’ ἀπολέσειαν οἱ θεοί.

book 124 σοφὴ μὲν ἦμην, ἀλλὰ πάντ’ οὐκ εὐτυχής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 125 ⟨ἔμελλεν⟩ αἰσχρὰ κερδανεῖν θεάματα

book 126.1 ποῖ μεταστρέφεσθ’, ὦ κακοὶ κἀνάξιοι τῆς ἐμῆς

book 126.2 σπορᾶς, Αἰτωλίδος ἀγάλματα μητρός;

book 127.1 φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον καὶ μεγάλων

book 127.2 πεδίων ἀρούρας, φρονεῖθ’ ὑπερβαλλόμενοι δόμων δόμους, ἀφροσύνᾳ[ln_5]πρόσω βιοτὰν

book 127.3 τεκμαιρόμενοι. ὃ δ’ ἀμφιβάλλει

book 127.4 ταχύπουν κέλευθον ἕρπων

book 127.5 σκοτίαν, ἄφνω δ’ ἄφαντος

book 127.6 προσέβα μακρὰς ἀφαιρούμενος ἐλπίδας[ln_10]θνατῶν

book 127.7 πολύμοχθος Ἅιδας.

book 128 Κόρινθος ἄστρον οὐκ ἄσημον Ἑλλάδος

book 129.1 ὦ χρυσέ, βλάστημα

book 129.2 χθονός, οἷον ἔρωτα βροτοῖσι

book 129.3 φλέγεις, πάντων κρατιστεύων τύραννε· πολέμοις δ’ Ἄρεως[ln_5]κρείσσον’ ἔχων δύναμιν, ⟨τᾷ⟩ πάντα θέλγεις· ἐπὶ γὰρ Ὀρφείαις μὲν ᾠδαῖς εἵπετο δένδρεα καὶ θηρῶν ἀνόητα γένη, σοὶ δὲ καὶ χθὼν πᾶσα καὶ πόντος καὶ ὁ παμμήστωρ Ἄρης.

book 130.1 πότνια

book 130.2 σοφία, σύ μοι ἅνδανε· ὄλβου δ’ ἐμοὶ μὴ χρυσέου

book 130.3 φαεννὰν ἀκτῖνα δαίμων διδοίη πάρος

book 130.4 σοφίας ἢ τυραννίδα.[ln_5]Διὸς ἀπωτάτω κεῖται καλὸς θησαυρὸς ὅτῳ προσέβαλε.

book 131 Αἰγύπτου πότμος

book 132 ἄκων μέν, ὡς Ζεὺς οἶδεν

book 133.1 ἅπαντα

book 133.2 τοῖς καλοῖσιν ἀνδράσιν

book 133.3 πρέπει.

book 134 ἢν μὴ καθάρῃς κἀλέσῃς, οὐ μὴ φάγῃς.

book 135 μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

book 136 λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

book 137 ποίαν δῆθ’ ὁρμάσω; ταύταν ἢ κείναν; κείναν ἢ ταύταν;

book 138 ἐπεὶ σχολὴ πάρεστι, παῖ Μενοιτίου

book 139.1 ὦ Ζηνὸς καὶ Λήδας κάλλιστοι

book 139.2 σωτῆρες

book 140.1 Ἴακχε θρίαμβε, σὺ τῶνδε

book 140.2 χοραγέ

book 141 κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν

book 142.1 οἳ δ’ ἐπείγοντο

book 142.2 πλωταῖς ἀπήναισι

book 142.3 χαλκεμβόλοις.

book 143.1 σοὶ Φοῖβε μούσαις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 143.2 τε σύμβωμοι

book 144 τίν’ ἀκτάν, τίν’ ὕλαν δράμω; ποῖ πορευθῶ;

book 147 ἀκταῖνον μένος

book 148.1 ἦ γὰρ βέβηκε

book 148.2 χεῖρας ἀρτάμων

book 148.3 φυγών;

book 149.1 ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον

book 149.2 στυγεῖ.

book 150 δίφρου τέτυκται βλῶσις εὔζυγον τέρας

book 151 ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ’ ἐξάντη νόσου.

book 152.1 ... ᾔδη

book 152.2 ταῦτ’ ἐγὼ φράσαι καλῶς

book 153 Χρυσεὺς δ’ ὁ μάντις

book 154 λαθραίαν κύπριν, αἰσχίστην νόσων

book 155 φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

book 157.1 ὑπέρ

book 157.2 τε πόντου

book 157.3 χεῦμ’ ὑπέρ

book 157.4 τε

book 157.5 Πλειάδα

book 158 ἐπεὶ δ’ ὁ λαμπρὸς ἐξέλαμψεν ἥλιος

book 159.1 ἀνὴρ ἐς οὐδὲν

book 159.2 χρεῖος

book 160.1 πανοῦχον ἅψαντες

book 160.2 φλόγα

book 161.1 χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων

book 161.2 φλογὶ αἰγυπτιώσει

book 162 Κίλιξ δὲ χώρα καὶ Σύρων ἐπιστροφαί

book 163 ἄτρυτος ἐν πόνοις

book 164.1 ὃς τόνδ’ ἔχεις τὸν

book 164.2 σηκόν, ἵλεως γενοῦ.

book 165 ἣ δὲ προυκαλεῖτό με βαυβᾶν μεθ’ αὑτῆς

book 166 μικρόν γ’ ἔλεξας βασιλικοῦ σηκὸν τάφου· διπλάσιος ἔστω. τοῦ καλοῦ δὲ μὴ σφαλεὶς δίπλαζ’ ἕκαστον κῶλον ἐν τάχει τάφου.

book 167.1 τῶν εὐτυχούντων ἀνταγωνιστὴς

book 167.2 φθόνος.

book 168 θεὸς οὐχὶ ληπτός· εἰ δὲ ληπτός, οὐ θεός.

book 169 εἰ μὲν θεοὶ σθένουσιν, οὐκ ἔστιν τύχη· εἰ δ’ οὐ σθένουσιν, οὐδέν ἐστιν ἡ Τύχη.

book 170.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σιγᾶν γε μέντοι

book 170.2 πολλὰ πολλαχοῦ καλόν.

book 171.1 τὴν εὐγένειαν, ἢν θέλῃς ἀνασκοπεῖν, ἐν

book 171.2 τοῖς καλῶς

book 171.3 φρονοῦσιν εὑρήσεις βροτῶν.

book 172 τοῦ λαμβάνειν γὰρ πάντες ἡσσῶνται βροτοί.

book 173.1 οὐκ ἔστιν ἐπιτήδευμα

book 173.2 χρησιμώτερον τῆς

book 173.3 πραότητος.

book 174 εἴθ’ ὤφελεν τὸ κάλλος ὅ με διώλεσεν κακῶς ὀλέσθαι.

book 175.1 ὁ θυμὸς αὐτὸν τῶν

book 175.2 φρενῶν ἐξῇρ’ ἄνω.

book 176 πηδῶν δ’ ὁ θυμὸς ἔνδοθεν μαντεύεται.

book 177.1 σὺ μὲν βάδιζε τὰς ἐπ’ Ἰνάχου ῥοάς, σὺ δ’ ἀμφὶ Θήβας

book 177.2 στεῖχε τὰς Καδμηίδας.

book 178 εἰ μή σε Λητὼ καλλίπαις ἐγείνατο

book 179.1 ἀνώμαλοι

book 179.2 πλάστιγγες ἀστάτου τύχης.

book 180.1 πολλοί σε μισήσουσιν, ἢν

book 180.2 σαυτὸν

book 180.3 φιλῇς.

book 181.1 ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν· κρεῖσσον γὰρ ἢ σέβοντα

book 181.2 τοὺς θεῶν νόμους πένητα ναίειν δόξαν ἠμποληκότα.

book 182.1 μί’ εὐγένεια τὸν

book 182.2 τρόπον

book 182.3 χρηστὸν

book 182.4 φορεῖν.

book 183 οὗτος μὲν οὖν μοι δεῦρ’ ἀεὶ τείνει λόγος.

book 184 κλύειν μαίεται

book 185 τὸν ἐγχώριον

book 186 πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται Κύπρις.

book 187.1 δισσὰ πνεύματα

book 187.2 πνεῖς, Ἔρως

book 188 ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σῦν ἐμέ.

book 189 νοσσιὰν τέκνων

book 190 Αἴαντε δ’ ὁρμήσαντες ἐκ ξυνωρίδος

book 191.1 ἦλθεν δὲ λαοὶ μυρίοι

book 191.2 πρὸς ἠόνα.

book 192

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χεῖρας δὲ Τρώων ὅπλ’ ἔδωκαν Ἑλλάδος
book 193 τιμᾶν Μακεδόνων εἵνεκ’ εὐανδρησίας
book 194.1 ἐγάμησεν Ἑλένη τὸν θεοῖς
book 194.2 στυγούμενον
book 195 γαμεῖ δ’ ὃ μὲν δὴ Τυνδάρεω κόρην μίαν
book 196 αὐλῶνά θ’ ἣν ἄρδουσι
book 197.1 τοίων γὰρ ἀνδρῶν
book 197.2 σπέρμ’ ἔδωκεν Ἑλλάδος
book 198.1 ἄλλη
book 198.2 συνωρίς
book 199 ἀργῆν ἔπεφνεν
book 200 ἄσειρος ἵππος
book 201 αὐτόχθων ἑστία
book 202.1 Ἀχίλλειον
book 202.2 πλάκα
book 203 βαθυρρίζου πέτρας
book 204 Βάκχου Διώνης
book 205 γλῶσσαν οὐκ ἐμπήξετε
book 206 δεσπότην κεκαρμένοι
book 207.1 δι’ ἔνδειαν
book 207.2 φρενῶν
book 208 ἐμπεδὴς γαμόρος μάρψεν Ἀίδης
book 209 .. ἔνορχιν λαόν
book 210 ἐπ’ ἀστράβης ὄχημ’ ἀκινδύνως φέρων
book 211.1 ἐς μέσον
book 211.2 συνίεσαν
book 212 ὄχος γὰρ οὐδὲ τοῖσιν εὐόργοις ἔπος.
book 213 εὔπλουτον κανοῦν
book 214 ἱππικὴ βάσις
book 215 θώμιγγα νευρῶν ἱππικήν
book 216 .. καταῖθυξ ὄμβρος
book 217 ἀλλά ς’ αἰδεσθεῖεν οἱ θεοί.
book 218 καταλλαγὴν δορός
book 219 κενὸν φάους
book 220 κεχήλευμαι πόδας
book 221 Κιμμερὶς θεά
book 222 κληδοῦχος γυνή
book 223 κλύετ’ οἰμωγῆς
book 224

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κνάπτειν κελεύω γλῶσσαν
book 225 Κνώσια κῶλα
book 226.1 οὔτ’ εἶπον οὐδὲν
book 226.2 πρὸς 〈σὲ〉 κῦρον, ὦ γύναι.
book 227 λαιθάργῳ ποδί
book 228.1 λακὶς
book 228.2 χθονός
book 229.1 Λερναία
book 229.2 χολή
book 230 λεοντόκρανον ὅπλον
book 231 βοὸς λεπάργου
book 232 λιβρὸν σέλας
book 233 Λίβυς τ’ ἀηδών
book 234 λιτῆρα θαλλόν
book 235 λύθρον μαστιγοφόνον
book 236 .. λωτοβοσκὸν φῦλον
book 237 μέγ’ ἀχήσεται
book 238 ὡς οἰνοπλῆγες 〈καὶ〉 μεθυστάδες γάμων
book 239 μοναστραβὴς ὄχος
book 240 νεόφθιτος κόρη
book 241.1 χρόνου
book 241.2 πολλοῦ νόστον
book 241.3 προμαθόντες
book 242 ὅδιος οἰωνός
book 243 ὁμόπαιδα κάσιν Κασάνδρας
book 244.1 ὀρείοις
book 244.2 ποσί
book 245 ὀρσίπους βοή
book 246 ὁσίους θαλάμους
book 247 ὅτοβος ἅλιμος
book 248 οὐκ ἄμοιρος ἦν
book 249 οὐκ εὐθυσκόπου
book 251 ὀχεῖα πόντια
book 252 παμβῶτις ἐλπίς
book 253 παρεμβάλοιτο κλῆρον
book 254 περισπερχοῦς βοῆς
book 255 πηκτὸς θάνατος
book 256 ποιναῖς ἐφικταῖς
book 257

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλὴ φαρέτρα
book 258 πόντια ῥάκη
book 259 πρέμνον ἑστίας
book 260.1 .. προσαιθρίζουσα πόμπιμον
book 260.2 φλόγα
book 261.1 νοτὶς
book 261.2 προσαυρίζουσα
book 261.3 χερσαίᾳ τροχῇ
book 262 Πυθίων ἀνακτόρων
book 263.1 σαρκήρη
book 263.2 στάχυν
book 264 σαυροβριθὲς ἔγχος
book 265 σηματίζονται πέδον
book 266 τετραέλικτον ἅλμαν
book 267 τέχνης γὰρ οὐχ ἥμαρτες
book 268 τίεσκε μύθους
book 269.1 Τιρύνθιον
book 269.2 πλίνθευμα, κυκλώπων ἕδος
book 270 τραπεζίτην Πάριν
book 271 φοινικελίκτην καὶ λόγων ἀλαζόνα
book 272.1 χαλκόδοντας
book 272.2 στόλους
book 273 χθονίαν λώβαν
book 274 χθονίους Ἰναχίδας
book 275 .. χρωματισθεὶς εὐθὺς ἐξ εὐνῆς φόνῳ
book 276.1 χυτλὸς δὲ κρατὸς ὄγκος εὔσκιος
book 276.2 παρῆν
book 277 ..... Ψυλλικὸς γύης ..
book 278 ὥσπερ ὀφθαλμὸς Διός
book 279 οἴμοι, τί δράσω; δυσὶ κακοῖς μερίζομαι.
book 280 τίς ἆρ’ ἐμοῦ γένοιτ’ ἂν ἀθλιώτερος;
book 281 ἐν γῆς φίλης μυχοῖσι κρυφθῆναι καλόν.
book 282 ἔξεστ’ ἐρωτᾶν πότνιά ς’ ἢ σιγὴν ἔχω;
book 283.1 γύναι, τί μοι
book 283.2 τραχεῖα κοὐκ εἰθισμένως λαλεῖς;
book 284.1 ἄπολις ἄοικος, πατρίδος ἐστερημένος, πτωχὸς
book 284.2 πλανήτης, βίον ἔχων
book 284.3 τοὐφ’ ἡμέραν
book 285.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάδ’ ἔστ’ ὀνείρων νυκτέρων
book 285.2 φαντάσματα.
book 286.1 ὡς
book 286.2 Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος.
book 287.1 ἀκριβὲς οἰάκισμα
book 287.2 πρὸς
book 287.3 σταθμὸν βίου
book 288 οὐ μνημονεύω· μὴ λίαν μ’ ἡγοῦ σοφόν.
book 289.1 ἐξῆλθον Ἕκτορές
book 289.2 τε καὶ Σαρπηδόνες.
book 291 λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον
book 292.1 χαῖρ’, ὦ δυνάστα τῆσδε γῆς
book 292.2 Τιρυνθίας.
book 293 οὐκ οἶσθ’, ἐπεί τοι κἂν ἐκώκυες μέγα.
book 294 χρυσὸς γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτη.
book 295.1 δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ σθένει
book 295.2 πηδᾶν ἐπ’ ἀνδρῶν σώμαθ’, ὡς
book 295.3 πλησθῇ φόνου, ἄνδρας δ’ ὁπλίτας
book 295.4 πολέμιον
book 295.5 ταρβεῖν δόρυ.
book 296.1 ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά, τοῦτ’ αὐτὸ πρῶτον, ἐξαφαιρεῖται
book 296.2 φρενῶν τὸν νοῦν τὸν ἐσθλόν· εἰς δὲ τὴν
book 296.3 χείρω
book 296.4 τρέπει γνώμην, ἵν’ εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.
book 297.1 οὐδ’ ἀγρία γὰρ ὄρνις, ἣν
book 297.2 πλάσῃ δόμον, ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.
book 298 ἀγὼν γὰρ οὐ μέλλοντος ἀθλητοῦ μένει ἀλκήν.
book 299 ἔνεισιν ἐν δειλοῖσιν ἀνδρεῖοι λόγοι.
book 300.1 ἐν
book 300.2 τοῖς ἐμαυτοῦ δικτύοις ἁλώσομαι.
book 301 σφάλλειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει.
book 302 τὸν μέγαν Ἀγαμέμνονα
book 303.1 θεόθεν δὲ πνέοντ’ οὖρον ἀνάγκη
book 303.2 τλῆναι καμάτοις ἀνοδύρτοις.
book 304 δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.
book 305.1 ἀγαθὴν
book 305.2 τιθήνην καὶ τροφὸν γνώμης νέας
book 306 οὐκ ἂν γένοιτ’ ἐρῶντος ἀθλιώτερον οὐδὲν γέροντος.
book 307

νῦν δ’ ἔρρ’ ἀπ’ οἴκων τῶνδε
book 308 ἄνθρωπον ὄντα δεῖ φρονεῖν ἀνθρώπινα.
book 309.1 γνώμης γὰρ ἐσθλῆς ἔργα
book 309.2 χρηστὰ γίγνεται.
book 310 ἐχθροῖς ἀπιστῶν οὔποτ’ ἂν πάθοις βλάβην.
book 311.1 ζῆλος γυναικὸς πάντα
book 311.2 πυρπολεῖ δόμον.
book 312 θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
book 313.1 θεῶν ὄνειδος
book 313.2 τοὺς κακοὺς εὐδαιμονεῖν.
book 314 κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.
book 315.1 κρίνει φίλους ὁ καιρὸς ὡς
book 315.2 χρυσὸν τὸ πῦρ.
book 316.1 λίαν
book 316.2 φιλῶν
book 316.3 σεαυτὸν οὐχ ἕξεις φίλον.
book 317.1 λόγῳ μ’ ἔπεισας
book 317.2 φαρμάκῳ σοφωτάτῳ.
book 318.1 τῷ γὰρ καλῶς
book 318.2 πράσσοντι πᾶσα γῆ πατρίς.
book 319.1 τὸ πολλὰ τολμᾶν πόλλ’ ἁμαρτάνειν
book 319.2 ποεῖ.
book 320 ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
book 321 φιλίας μέγιστος δεσμὸς αἱ τέκνων γοναί.
book 322.1 Λυδῶν τῶν
book 322.2 πολυχρύσων ἄναξ
book 323.1 δεινὸς
book 323.2 σοφιστής, τῶν ἀγυμνάστων
book 323.3 σφαγεύς
book 324.1 πολλῷ δὲ κρεῖσσόν ἐστι μὴ δεδοικότα
book 324.2 παθεῖν τὸ μέλλον δεινὸν ἢ δεδοικότα.
book 325 πάσης μὲν ὠμότητος ἀνάπλεων φόνον, παντὸς δὲ θανάτου δυσποτμώτερον μόρον
book 326 οὐ γὰρ μετεῖναι τῶν νόμων δούλοις ἔφυ.
book 327 ἐγὼ δ’ ἐμαυτοῦ καὶ κλύειν ἐπίσταμαι ἄρχειν θ’ ὁμοίως, τἀρετῇ σταθμώμενος τὰ πάντα.
book 328.1 .. κεραυνοῦν
book 328.2 πυριβόλους μὲν .. πλάκας
book 329.1 μηδὲ σὺ ζήτει
book 329.2 πυθέσθαι
book 330.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐδὲν
book 330.2 φρονεῖ δίκαιον … ἀνήρ.
book 331 οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νεκρόν.
book 332 ἄνδρες Ἑλλήνων ἄριστοι
book 333 περισφάτως ἔχων
book 334 τὴν ἐμὴν κάμνειν νόσον
book 335 τυφλῶν ὀνείρων
book 336.1 ἀκύματος δὲ πορθμὸς ἐν
book 336.2 φρίκῃ γελᾷ.
book 337.1 ἄψυχον ἄνδρα λαμβάνειν
book 337.2 συνέμπορον
book 338 δισχιδὴς ὁδός
book 339 δυσμάραντον κακόν
book 340 δυσήλιον θέρος
book 341 διχόρροπος γνώμη
book 342.1 ἐλαφρὸν
book 342.2 παραινεῖν 〈τῷ〉 κακῶς
book 342.3 πεπραγότι.
book 343 εὔορνις τύχη
book 344 οὐδὲν κακὸν 〈γὰρ〉 ῥᾳδίως ἀπόλλυται.
book 345 σκοτεινὸς ὀργήν
book 346 χωρὶς γὰρ οἰκοῦσ’ ἁρεταὶ τῶν ἡδονῶν.
book 347 φίλων ἔρημος, ὦ τάλας, ἀπόλλυμαι.
book 348.1 ἐάν
book 348.2 τι δέλτος ἐν
book 348.3 πτυχαῖς πόντου πάθῃ
book 349 ὦ μηχάνημα λυγκὸς αἰολώτερον
book 350 τί δῆτα θύειν δεῖ σε κατθανούμενον; ἄμεινον οὐδεὶς κάματος εὐσεβεῖν θεούς.
book 351.1 ὦ Ζεῦ, τίς εἶναι
book 351.2 φησὶ σοῦ σοφώτερος;
book 352 εἱμαρμένον δὲ τῶν κακῶν βουλευμάτων κακὰς ἀμοιβάς ἐστι καρποῦσθαι βροτοῖς.
book 353.1 Ζεὺς γὰρ τὰ μὲν μέγιστα
book 353.2 φροντίζει βροτῶν, τὰ μικρὰ δ’ ἄλλοις δαίμοσιν
book 353.3 παρεὶς ἐᾷ.
book 354 τόδ’ ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις, ὅτῳ τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ.
book 355.1 [spk_〈a.〉]〈A.〉 πρὸς θῆλυ νεύει μᾶλλον ἢ ἐπὶ τἄρσενα; 〈B.〉 ὅπου
book 355.2 προσῇ τὸ κάλλος, ἀμφιδέξιος.
book 356.1 φόβος τὰ θεῖα
book 356.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖσι σώφροσιν βροτῶν.

book 357 τῆς δειλίας γὰρ αἰσχρὰ γίγνεται τέκνα.

book 358 [spk_αλκμ]ΑΛΚΜ. ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς.

book 358 [spk_αδρ]ΑΔΡ. σὺ δ’ αὐτόχειρ γε μητρὸς ἥ ς’ ἐγείνατο.

book 359 ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη.

book 360 ἡ βροτῶν τ’ εὐπραξία τῶν τἀλάχιστα γίγνεται λυπουμένων.

book 361.1 κινοῦσα

book 361.2 χορδὰς τὰς ἀκινήτους

book 361.3 φρενῶν

book 362 ἐρρέτω φίλος σὺν ἐχθρῷ

book 363 οὐ παῖς Ἀχιλλέως, ἀλλ’ ἐκεῖνος αὐτὸς εἶ.

book 364.1 γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει. παῖς

book 364.2 παιδί, καὶ γυναικὶ πρόσφορον γυνή, νοσῶν τ’ ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

book 365.1 σύνθημ’ ἐρωτῶν, ἄλλο μαστεύων

book 365.2 χρέος

book 366.1 αὑτόν 〈τε〉 πράσσων εὖ τίθησιν εἰς μέσον, τοῦ δυστυχοῦς

book 366.2 τε λαγχάνων οὐκ ἄχθεται.

book 367 ἀλλ’ ἓν διδοῦσα πάντα μαλθάσσει τάδε.

book 368.1 τό τοι

book 368.2 χρεὼν οὐκ ἔστι μὴ χρεὼν

book 368.3 ποεῖν.

book 369 λιμὴν γὰρ Ἀίδας ἀνιᾶν.

book 370.1 Ἅιδην δ’ ἔχων βοηθὸν οὐ τρέμω

book 370.2 σκιάς.

book 371.1 μηδεὶς

book 371.2 φοβείσθω θάνατον ἀπόλυσιν πόνων.

book 372 ποῦ γὰρ τὰ σεμνὰ κεῖνα; ποῦ δὲ Λυδίας μέγας δυνάστης Κροῖσος ἢ Ξέρξης βαθὺν ζεύξας θαλάσσης αὐχέν’ Ἑλλησποντίας; ἅπαντ’ ἐς Ἅιδην ἦλθε καὶ Λήθης δόμους.

book 373.1 … θαλέθοντι βίῳ βλάσταις

book 373.2 τε τέκνων βριθομένα γλυκερὸν φάος ὁρῶσα

book 374 ὦ τλῆμον ἀρετή, λόγος ἄρ’ ἦσθ’· ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν· σὺ δ’ ἄρ’ ἐδούλευες τύχῃ.

book 375.1 ἀλλ’ εἴτ’ ἔνυπνον φάντασμα

book 375.2 φοβῇ χθονίας θ’ Ἑκάτης κῶμον ἐδέξω

book 376.1 δεινή τις ἀνδρὶ καὶ γυναικὶ συμφορὰ δούλοις γενέσθαι δεσπότας

book 376.2 τε δυσχερεῖς λαβεῖν.

book 377 φεύγει μέγα λαῖφος ὑποστολίσας ἐρεβώδεος ἐκ θαλάσσης

book 378.1 Φοίβου

book 378.2 ποτ’ οὐκ ἐῶντος ἔσπειρεν τέκνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 379 εἴκει γὰρ ἤδη θυμὸς οὐδ’ ἔτ’ ἀντέχει θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλῳ.
book 380.1 ναῦς ὥς
book 380.2 τις ἐκ μὲν γῆς ἀνήρτηται βρόχοις, πνεῖ δ’ οὖρος, ἡμῖν δ’ οὐ κρατεῖ τὰ πείσματα.
book 381.1 οὔτοι
book 381.2 πρέπει τὸ σχῆμα· τοὺς αὐλοὺς μέθες καὶ θὤπλα λάζευ καὶ γνάθους εὐθημόνει.
book 382 ἄνδρ’ ἠδίκησας· ἄνδρ’ ἀνεκτέον τόδε;
book 383.1 καὶ γὰρ κάπρον
book 383.2 φριξαύχεν’ οὐ μόνον γυνή, παῖς δ’ ἂν νεογνὸς
book 383.3 χειρὶ προσκνήθων νέᾳ κλίνοι
book 383.4 παλαιστοῦ παντὸς εὐμαρέστερον.
book 384.1 φίλων γε μέντοι
book 384.2 χρῆσις ἡ πρὸς αἵματος μόνη κακοῦ ῥέοντος ὠφελεῖν
book 384.3 φιλεῖ.
book 385.1 ὅπου
book 385.2 τις ἀλγεῖ, κεῖσε καὶ τὴν
book 385.3 χεῖρ’ ἔχει.
book 386 οἴμοι, τὸ κακὸν τῆς εὐτυχίας ὡς μᾶλλον ἐς οὖς φέρεται θνητῶν.
book 387.1 ἀεὶ δ’ ἀοιδῶν μοῦνος ἐν
book 387.2 στέγαις ἐμαῖς κωκυτὸς ἐμπέπτωκεν
book 388.1 ὄλοιο θνητῶν ἐκλέγων τὰς
book 388.2 συμφοράς.
book 389 οὐκ ἔστ’ ἐν ἄντροις λευκός, ὦ ξέν’, ἄργυρος.
book 390.1 πηδῶν ὁ θυμὸς τῶν
book 390.2 φρενῶν ἀνωτέρω
book 391 θύννος βολαῖος πέλαγος ὣς διαστροβεῖ.
book 392.1 Ἀργεῖος ἢ Θηβαῖος· οὐ γὰρ εὔχομαι μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων
book 392.2 πατρίς.
book 393 σκληρὰν ἄκαρπον καὶ φυτεύεσθαι κακήν
book 394.1 ὅς με ῥάκη τ’ ἤμπισχε κἀξηνάγκασεν
book 394.2 πτωχὸν γενέσθαι καὶ δόμων ἀνάστατον.
book 395 κακῶν κατάρχεις τήνδε μοῦσαν εἰσάγων.
book 396.1 ἥ 〈τ’〉 ἄγνος ἀνθεῖ χὠ βότρυς
book 396.2 πεπαίνεται.
book 397.1 λήγει δὲ Κύπρις θαλίαι
book 397.2 τε νέων, οὐδ’ ἔτι θύρσος φύλλα βακχείου
book 398 〈ὦ〉 γλῶσσα, μέτριον εἴ τι κομπάσαι θέλεις, ἔξειπε
book 399.1 τὸν
book 399.2 παῖδά μοι τόνδ’ ἀξίως Ἡρακλέους ἡμῶν
book 399.3

τε θρέψαι.

book 400 ἐγένοντο, τοῦ μὲν Ἡρακλῆς, τοῦ δ’ Ἴφικλος.

book 401.1 μισεῖς· ἐγὼ δὲ ῥᾳδίως μισήσομαι

book 401.2 πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν.

book 402 βίᾳ δ’ ἔπραξας χάριτας ἢ πείσας κόρην;

book 403 γλυκεῖ’ ὀπώρα φύλακος ἐκλελοιπότος.

book 404.1 τόδ’ ἐξοπλίζει

book 404.2 τοὔπος Ἀργεῖον λεών.

book 405.1 οὐ γάρ με Νὺξ ἔτικτε δεσπότην λύρας, οὐ μάντιν οὐδ’ ἰατρόν, ἀλλὰ θνητὸν ἅμα

book 405.2 ψυχαῖς

book 406 τίς καλλίκαρπον θύρσον ἀνασείει θεῶν;

book 407 ἐφέσπερον δαίουσα λαμπτῆρος σέλας

book 408.1 πῦρ καὶ θάλασσαν καὶ πνοὰς τὰς αἰθέρος

book 408.2 περᾶν ἕτοιμος

book 409 ὕβρις τάδ’, οὐχὶ Κύπρις ἐξεργάζεται.

book 410.1 πολλοῦ σε θνητοῖς ἄξιον τίκτει

book 410.2 πατήρ, .. μήτι

book 410.3 παυσώμεσθα δρῶντες εὖ βροτούς.

book 411.1 φιλῶ τέκν’, ἀλλὰ πατρίδ’ ἐμὴν μᾶλλον

book 411.2 φιλῶ.

book 412.1 δεινὸς κολαστὴς πέλεκυς αὐχένος

book 412.2 τομεύς.

book 413.1 μικρὸν δὲ ποδὸς

book 413.2 χαλάσαι μεγάλῃ κύματος ἀλκῇ

book 414.1 ἄκραντα γάρ μ’ ἔθηκε θεσπίζειν θεός, καὶ πρὸς

book 414.2 παθόντων κἀν κακοῖσι κειμένων

book 414.3 σοφὴ κέκλημαι, πρὶν

book 414.4 παθεῖν δὲ μαίνομαι.

book 415.1 στείχει

book 415.2 πολίταις ὄμμ’ ἔχων ἰδεῖν

book 415.3 πικρόν.

book 416.1 κραταιῷ περιβαλὼν βραχίονι εὕδει

book 416.2 πιέζων

book 416.3 χειρὶ δεξιᾷ ξύλον.

book 417.1 ὅδ’ αὖτ’ ἐκείνου

book 417.2 φθόγγος ἐξωλέστερος.

book 418.1 κλίθητι καὶ πίωμεν· οὐ καὶ σιτία πάρεστιν; ὦ δύστηνε, μὴ σαυτῷ φθόνει. οἳ δ’ εὐθὺς ἠλάλαξαν, ἐν δ’ ἐκίρνατο οἶνος, φέρων δὲ στέφανον ἀμφέθηκέ τις.[ln_5]ὑμνεῖτο δ’ αἰσχρῶς κλῶνα

book 418.2 πρὸς καλὸν δάφνης ὁ Φοῖβος οὐ προσῳδά· τήν τ’ ἐναύλιον ὠθῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 418.3 τις ἐξέκλαγξε σύγκοιτον φίλην.
book 419.1 Κρητικοὺς αὐλοὺς θανούσης κῶλα
book 419.2 ποικίλης νεβροῦ
book 420 σύμμικτον ὥστε γλεῦκος ὑλιστήριον
book 421 ἔστιν Δίκης ὀφθαλμός, ὃς τὰ πάνθ’ ὁρᾷ.
book 422.1 σοφοὶ σοφοὺς σῴζουσιν, ἢν ὦσιν
book 422.2 σοφοί.
book 423 ἄδοξον, ἄκραν γλῶσσαν ἠκονημένον
book 424.1 ἁγνὸν εἰς
book 424.2 σηκὸν θεοῦ
book 425.1 ἔργων μυστικῶν
book 425.2 προφάντιδες
book 426 ῥινηλάτην κύνα
book 427 στηρίγματ’ οἴκου
book 428 χωρίτης λεώς
book 429 ἀπτέρῳ τάχει
book 430 ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων.
book 431 〈θεοὺς δὲ〉 καὶ λαθεῖν ἀμήχανον.
book 433.1 ὡς πάντα
book 433.2 πράγματ’, ἢν καλὰς ἀρχὰς λάβῃ, καλῶς
book 433.3 τελευτᾶν καὶ μεσοῦν
book 433.4 φιλεῖ βροτοῖς.
book 434.1 … δῶρα καὶ θεοὺς
book 434.2 παρήπαφεν.
book 435.1 ἀλλ’ ἕπου χώρας
book 435.2 τρόποις.
book 436 δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια κἄδικα.
book 437 κρεισσόνων γὰρ καὶ δίκαια κἄδικ’ ἔστ’ ἀκουστέα.
book 438 μετὰ γὰρ νοσούντων, φασί, μαίνεσθαι καλόν.
book 439 πρὸς μάντιν οὐδεὶς εὐτυχὴς ἀπέρχεται.
book 440.1 ταὐτὸ πρὸς τύμβον
book 440.2 τε κλαίειν καὶ πρὸς ἄνδρα νήπιον.
book 441.1 τοῖς δευσοποιοῖς
book 441.2 φαρμάκοις ξανθίζεται
book 442.1 χρημάτων
book 442.2 τε γάργαρα
book 443 ἄλλος γυναικὸς κόσμος, ἄλλος ἀρσένων
book 444 γνησίων ἐπὶ σπορᾷ παίδων
book 445.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν

book 445.2 πρώτοις ἄγω

book 446.1 Ζεὺς κατεῖδε

book 446.2 χρόνιος εἰς τὰς διφθέρας.

book 447.1 ὡς αἰσχρόν ἐστι μὴ καλῶν ἀπ’ ὀμμάτων κλᾶον

book 447.2 πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν.

book 448.1 θεὸς δ’ ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται, ἀλλ’ ὡς λέβης

book 448.2 τις μείζονος δεῖται

book 448.3 πυρός.

book 449.1 ὅ τοι θρασὺς

book 449.2 πρὸς ἔργον ἐκ

book 449.3 πολλοῦ κακός.

book 450.1 τραύματ’ ἐξόπισθ’ ἔχων τῆς δειλίας

book 450.2 σημεῖα κοὐχὶ τοῦ θράσους.

book 451 ἄνθρωπον ἦθος

book 452.1 ἥλιος, ὅτου δι’ αὐγῆς πάντα βλαστάνει βροτοῖς

book 452.2 φθίνει

book 452.3 τε.

book 453.1 καὶ παιδὶ καὶ γέροντι

book 453.2 προσφέρων

book 453.3 τρόπους

book 454.1 σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς

book 454.2 φυγὼν Ἄβαντα φύει διάδοχον

book 454.3 τυραννίδος.

book 455.1 ὅταν δ’ ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά, τὸν νοῦν ἔβλαψε

book 455.2 πρῶτον ᾧ βουλεύεται.

book 456 μόνος οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος

book 457 ἐν τῷ λαλεῖν δεῖ μηδὲ μηκύνειν λόγον.

book 458.1 ἀεὶ δ’ ὁρῶντί τ’ ὀξὺ καὶ τυφλὸς ἦν· θυσίας γὰρ ἀπαρχὰς κρέας ἐπέμπομεν

book 458.2 πατρὶ .. περισσὸν ὦμον ἔκκριτον γέρας. τὸ δή γε σῦν κόψαντες, οὐ μεμνημένοι,[ln_5]λήσειν δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου ἐπέμψαμεν βόειον. ὃ δὲ λαβὼν

book 458.3 χερὶ ἔγνω ἐπαφήσας εἶπέ τ’ ἐκ θυμοῦ τάδε· τίς μοι τόδ’ ἀντόμοιον μισητὸν κρέας πέμπων; γέλωτα δή με

book 458.4 ποιοῦνται κόροι[ln_10]θύοντες ὕβρει· ‘τυφλὸς οὔτι γνώσεται‘, οὕτω λέγοντες. ὦ θεοί, μαρτύρομαι ἐγὼ τάδ’ ὑμᾶς καὶ κατεύχομαι κακὰ αὐτοῖσιν ἀντὶ τῶνδε δὶς τόσα

book 458.5 σχεθεῖν. χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων

book 458.6 χρόα[ln_15]σφάξειαν ἀμφὶ κτήμασιν

book 458.7 τυραννικοῖς.

book 459 〈ὡσ〉 ὁ μὴ τοὔργον δεδοικὼς οὐ δέδοικε τὸν λόγον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 460.1 καὶ τοῦτο

book 460.2 τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος, ὅταν καλῶς

book 460.3 πράσσῃ τις, ἐλπίζειν κακά.

book 462.1 δεινόν γε

book 462.2 ταὐτὸν

book 462.3 τοῖς μὲν ἁνδάνειν βροτῶν, τοῖς δ’ ἔχθος εἶναι.

book 463 σωτῆρες εὐσέλμων νεῶν

book 464.1 κάλλιστα μουσῶν

book 464.2 φθέγγεται

book 464.3 πλουτῶν ἀνήρ.

book 465 τολμῶ κατειπεῖν, μήποτ’ οὐκ εἰσὶν θεοί· κακοὶ γὰρ εὐτυχοῦντες ἐκπλήσσουσί με.

book 466.1 σημεῖα γάρ

book 466.2 τοι

book 466.3 ταῦτα γίγνεσθαι

book 466.4 φιλεῖ, ὅταν

book 466.5 τι ναοῖς ἐγκατασκήψῃ μύσος.

book 467 Ἀκτίτου πέτρα

book 468 Βαρκαῖον αἶπος

book 469 Φασιανὸν νάπος

book 470.1 ἔπειτα πάσης ‘Ελλάδος καὶ ξυμμάχων βίον διῴκης’ ὄντα

book 470.2 πρὶν

book 470.3 πεφυρμένον θηρσίν θ’ ὅμοιον. πρῶτα μὲν τὸν πάνσοφον ἀριθμὸν ηὕρηκ’ ἔξοχον

book 470.4 σοφισμάτων.

book 471 ὁ γὰρ θεὸς μέγιστος ἀνθρώποις νόμος.

book 472.1 Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου

book 472.2 πείρατα νωμῶν

book 473 θεοῦ θέλοντος μετὰ πάντα γίγνεται.

book 474 τί δ’ οὐ γένοιτ’ ἂν θεοῦ ἐφιέντος τύχῃ;

book 475 γεννᾷ τὸ θεῖον εὐτυχῆ δωρήματα.

book 476.1 Ζεὺς ἔσθ’ ὁ πέμπων τὴν ἐφήμερον

book 476.2 τροφήν.

book 477.1 ἄνευ θεοῦ γὰρ οὐδὲ εἷς ἀνὴρ

book 477.2 σθένει.

book 478 θείᾳ προνοίᾳ πάντ’ ἐγέννησεν φύσις.

book 479 θεὸς μόνος πέφυκεν ἐν βροτοῖς μέγας.

book 480.1 πάντῃ πάρεστι πάντα

book 480.2 τε βλέπει θεός.

book 481.1

θνητοῖσιν ἀνθρώποισι καταφυγὴ θεοί, [καὶ τἀμπλακήματ’ ἔρχεται θεοὺς ἔπι] ὅθεν λαβόντες αἱ κακῶς

book 481.2 πεπραγότες

book 481.3 σωτηρίαν ἀπῆλθον ἐκ δυσπραξίας.

book 482 νῦν οὐκέτι μοι δίχα θυμός, ἀλλὰ σάφ’ οἶδ’ ὅτι πάντα βροτοῖς Ζεὺς ἐπικάρσια τέμνει, καθελὼν μὲν δοκέοντ’,[ln_5]ἀδόκητον δ’ ἐξαείρων.

book 483.1 ὁρῶ γὰρ

book 483.2 χρόνῳ δίκαν πάντ’ ἄγουσαν εἰς φῶς βροτοῖς.

book 484 φθείρει γὰρ ἡ πρόνοια τὴν ἀβουλίαν.

book 485.1 οὐχ εὕδει Διὸς ὀφθαλμός, ἐγγὺς δ’ ἐστὶ καίπερ ὢν

book 485.2 πρόσω.

book 486.1 οὐ γάρ

book 486.2 τις οὐδὲ χρημάτων ὑπεργέμων νόμον μιαίνων ἀσφαλῶς γηράσεται, ἀλλ’ ἡμέρας ἢ νυκτὸς ἡ Δίκη

book 486.3 ποτὲ τῷ δυσσεβοῦντι σῖγ’ ἔχους’ ἐνήλατο.

book 487 τὸ μὴ δίκαιον ἔργον οὐ λήθει θεούς.

book 488 δαίμων βροτοῖσι πόλλ’ ἀνευρίσκει κακά.

book 489.1 λύπας μὲν ἀνθρώποισιν, ὦ γύναι, θεοὶ τοῖσιν διδοῦσιν οὓς ἂν ἐχθαίρως’, ἐπεὶ οὔ σφιν

book 489.2 πονηρόν ἐστιν

book 490 τιμωρίαν ἔτεισεν ὧν ἔρξεν κακῶν.

book 491 ὀξὺς θεῶν ὀφθαλμὸς εἰς τὰ πάντ’ ἰδεῖν.

book 492.1 ἔσθ’, ὡς ἔοικεν, ἔστιν οὐχ ὁρώμενον

book 492.2 τοῖς ζῶσιν ἡμῖν οὐδὲ προσδοκώμενον δαιμόνιον, ᾧ μέλει

book 492.3 τι τοῦ θνητοῦ βίου.

book 493 ὁρᾷς Δίκην ἄναυδον οὐχ ὁρωμένην εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ· ἑξῆς δ’ ὀπαδεῖ δόχμιον, ἄλλοθ’ ὕστερον.

book 494.1 οὐδεὶς

book 494.2 παρανομῶν

book 494.3 πρὸς θεοὺς ἐχέγγυος.

book 495 μόνη ἐστὶν ἀπαραίτητος ἀνθρώποις Δίκη.

book 496.1 μὴ μουσοποίει

book 496.2 πρὸς τὸ νηπιώτερον· πόρρω γὰρ ἑστὼς ὁ θεὸς ἐγγύθεν βλέπει.

book 497.1 ὅστις λέγει κάκ’ εὖ φρονῶν

book 497.2 σιγῇ στένει.

book 498.1 ἄγει τὸ θεῖον

book 498.2 τοὺς κακοὺς

book 498.3 πρὸς τὴν δίκην.

book 499 τὸ δὲ θεῶν κράτος μέγα κατ’ ἀνθρώπους· ἄφρονες δ’ ὁπόσοι τὸ δίκαιον ἄγους’ ὑπὸ τᾶς ἀδίκου βιοτᾶς ἀφανές· μέγα γὰρ ὄμμα δαιμόνων, οἷς τίνους’[ln_5]ἀμοιβὰς κακῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 500 Δίκας δ’ ἐξέλαμψε θεῖον φάος

book 501.1 ὁσίᾳ δ’ ἀνάγκη

book 501.2 πολεμιωτάτη θεός.

book 502 οὐδεὶς ἀνάγκης μεῖζον ἰσχύει νόμος.

book 503 μόνη γὰρ ἐν θεοῖσιν οὐ δεσπόζεται μοῖρ’ οὐδ’ ἐν ἀνθρώποισιν, ἀλλ’ αὐτὴ κρατεῖ.

book 504 ὦ μοῖρα κεδνῶν καὶ κακῶν κυνηγέτι

book 505 ἡ τὰ θνητῶν καὶ τὰ θεῖα πάντ’ ἐπισκοποῦς’ ⟨ἀεὶ⟩ καὶ νέμους’ ἡμῶν ἑκάστῳ τὴν κατ’ ἀξίαν τύχη [μερίδα]

book 506.1 πάντων τύραννος ἡ τύχη ἐστὶ τῶν θεῶν, τὰ δ’ ἄλλ’ ὀνόματα

book 506.2 ταῦτα

book 506.3 πρόσκειται μάτην· μόνη διοικεῖ γοῦν ἅπανθ’ ἧ βούλεται.

book 507.1 ὦ δέσποτ’ ἄναξ ἔστι

book 507.2 τοῖς

book 507.3 σοφοῖς βροτῶν

book 507.4 χρόνῳ σκοπεῖσθαι τῆς ἀληθείας πέρι.

book 508.1 μετὰ τὴν

book 508.2 σκιὰν τάχιστα γηράσκει

book 508.3 χρόνος.

book 509.1 χρόνος αὖ χρόνος ἅμα κραταιᾷ χρημοσύνᾳ βίου πόλλ’ ἀνευρίσκει

book 509.2 σοφὰ μαιομένοις.

book 510.1 οὐκ ἔστι

book 510.2 πράσσοντάς

book 510.3 τι μοχθηρὸν λαθεῖν· ὀξὺ βλέπει γὰρ ὁ χρόνος, ὃς τὰ πάνθ’ ὁρᾷ.

book 511 χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.

book 512.1 ἀλλὰ ταῦτα μὲν

book 512.2 χρόνος δείξει· μόνος γάρ ἐστιν ἀνθρώπων κριτής.

book 513.1 ἐμοῦ θανόντος γαῖα μιχθήτω

book 513.2 πυρί· οὐδὲν μέλει μοι· τἀμὰ γὰρ καλῶς ἔχει.

book 514 τῷ λόγῳ μὲν εὖ διέρχῃ πάντα, τῷ δ’ ἔργῳ κακῶς.

book 515.1 καὶ τῷδε δηλώσαιμ’ ἄν, εἰ βούλοιο σύ, τἀληθές, ὡς ἔγωγε καὐτὸς ἄχθομαι, ὅστις λέγειν μὲν εὐπρεπῶς ἐπίσταται, τὰ δ’ ἔργα

book 515.2 χείρω τῶν λόγων

book 515.3 παρέσχετο.

book 516.1 μελέτη

book 516.2 χρονισθεῖς’ εἰς φύσιν καθίσταται.

book 516a.1 ἀεί τι βούλου

book 516a.2 χρήσιμον

book 516a.3 προσμανθάνειν.

book 517.1 ἃ δεῖ παρὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 517.2 φρόντιζε, μὴ παρὼν ἀπῇς.

book 518.1 οὐχ ὡς νομίζεις, τὸ φρονεῖν εἶπας κακῶς. τό τοι κράτιστον

book 518.2 πανταχοῦ τιμητέον.

book 519.1 οὐ χρὴ ποδώκη τὸν

book 519.2 τρόπον λίαν

book 519.3 φορεῖν.

book 520 ἔμβα, πορθμίδος ἕρμα.

book 521 θάλλουσα λυπῇ τοὺς ἄγαν ὑπέρφρονας

book 522.1 ὅσοι δὲ φιλοσοφοῦντες ἐκμοχθοῦσί τι, ἐνταῦθ’ ὑπάρχει τῷ βίῳ γαστρὸς κρατεῖν· διδάσκαλος γὰρ ηὑτέλεια τῶν

book 522.2 σοφῶν καὶ τῶν ἀρίστων γίγνεται βουλευμάτων.

book 523 πόλλ’ ἐστὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακά.

book 524.1 ἐν

book 524.2 τοῖς κακοῖσι δ’ εὐγένει’ ὅταν

book 524.3 παρῇ τραχεῖα κὠξύθυμος, ἀμαθίαν ἔχει.

book 525 ἀφροδίσιος 〈γὰρ〉 ὅρκος οὐκ ἐμποίνιμος.

book 526 ἅπανθ’ ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

book 527 θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.

book 528 κακὸν γὰρ αἰδώς, ἔνθα τἀναιδὲς κρατεῖ.

book 529.1 αἰσχρόν γ’ ὅταν

book 529.2 τις ἐπὶ γλώσσῃ φυεὶς γλώσσῃ ματαίους ἐξακοντίσῃ λόγους.

book 530.1 ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται

book 530.2 φθόνον.

book 531.1 ἅπαν τὸ λίαν

book 531.2 συνετόν ἐστ’ ἐπίφθονον.

book 532.1 ἀδικώτατον

book 532.2 πρᾶγμ’ ἐστὶ τῶν πάντων

book 532.3 φθόνος.

book 533.1 εἰσίν

book 533.2 τινες νῦν οὓς τὸ βασκαίνειν

book 533.3 τρέφει.

book 534 οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς, οὐδ’ εἰ φθόνου γένοιτο δυσμενέστερος.

book 535.1 χρὴ δ’ ἢ λέγειν

book 535.2 τι χρηστὸν ἢ λέγουσιν εὖ μὴ δυσμεναίνειν τῷ φθόνῳ νικώμενον.

book 536 σὺ δ’ ἐγγενὴς ὢν τήνδε δουλώσας ἔχεις.

book 537 κρεῖττόν τ’ ἀμύνειν· κατθανεῖν γὰρ εὐκλεῶς ἢ ζῆν θέλοιμ’ ἂν δυσκλεῶς γε κατθανών.

book 538 τὸ νέον ἅπαν ὑψηλόν ἐστι καὶ θρασύ.

book 539.1 γνῶμαι γὰρ ἔργων τῶν ἐν ἀνθρώποις

book 539.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροφοί.

book 540.1 βουλαὶ τάδ’ ἐξέπραξαν, οὐ χερῶν

book 540.2 σθένος.

book 541.1 εἰ μὲν

book 541.2 πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν νώτισμα θηρός· εἰ δὲ πρὸς νέφη βάλοι, κυανωπὸν ὥς

book 541.3 τις Ἶρις ἀντηύγει σέλας.

book 542 καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου.

book 543.1 οὐκ ἐν γυναιξὶ φύεται

book 543.2 πιστὴ χάρις.

book 544.1 τοῦ γὰρ

book 544.2 πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει, ἡσσημένῳ δὲ δόξα νικητήριος.

book 545.1 τοὺς εὖ γεγονότας καὶ τεθραμμένους καλῶς κἀν

book 545.2 τοῖς κακοῖς δεῖ λόγον ἔχειν εὐφημίας.

book 546.1 ἐγὼ γάρ, εἰ νοῦν εἶχ’ ἔμ’ ὁ σπείρας

book 546.2 πατήρ, ἠπιστάμην ἂν μουσικὴν

book 546.3 παρεὶς

book 546.4 πονεῖν, ὡς εὐτυχήσων καὶ κακῶς

book 546.5 πράξων

book 546.6 ποτέ. πρῶτον μέν, ἐξ ὧν πάντα γίγνεται βροτοῖς,[ln_5]εὔογκος εἶναι γαστρὶ μὴ πληρουμένῃ στέργειν θ’ ὑδρηλοῖς ὥστε θὴρ ἀεὶ ποτοῖς, χειμῶνί τ’ ἀσκεῖν σῶμα θερμά θ’ ἡλίου

book 546.7 τοξεύματ’ αἰνεῖν μὴ σκιατραφούμενος. νῦν δ’ οὐκ ἐθισθεὶς

book 546.8 τοῦτ’ ἐπίσταμαι μὲν οὔ,[ln_10]φέρειν δ’ ἀνάγκη· τὸν γὰρ Ὀρφέα λαβὼν αὐτῶν

book 546.9 τε μουσῶν ἐννεάφθογγον μέλος,

book 546 οὐκ ἂν πίθοιμι γαστέρ’, ἀλλὰ δεῖ βίου.

book 547.1 τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ, οὐδ’ ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει· [ὃ περιέτρεψεν ἢ χρόνος

book 547.2 τις ἢ φθόνος,[ln_5]ἐπὰν ἐπ’ ἄκρον

book 547.3 τις

book 547.4 τοῦ καλῶς

book 547.5 πράττειν δράμῃ.] ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα. [τὸ μήτε λίαν ἐν

book 547.6 ταπεινῷ τῆς τύχης μέρει φέρεσθαι μήτ’ ἐν ὑψηλῷ πάλιν.] ἢν γὰρ πέσῃ τις ἐξ ἐλάσσονος μέτρου, [ln_10]εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν· ὄγκου δὲ μεγάλου

book 547.7 πτῶμα γίγνεται μέγα. πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται, σφάλλει δ’ ἐκείνους οὓς ἂν ὑψώσῃ τύχη.

book 548.1 σὺ δ’ ὦ τεκοῦσα μὴ τὴν σὴν λιβάσι κατάσπενδε

book 548.2 παρηίδα.

book 549.1 γέροντι δ’ οὐχ οἷόν

book 549.2 τε μηκύνειν

book 549.3 χρόνον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 550.1 μακρὸς γὰρ αἰὼν

book 550.2 συμφορὰς

book 550.3 πολλὰς ἔχει.

book 551.1 .. πολύς

book 551.2 τοι μόχθος ἐν μακρῷ χρόνῳ.

book 552 ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον.

book 553.1 ἔχω· τὸ γὰρ

book 553.2 πρᾶγμ’ αὐτό μοι καλῶς ἔχον καλοὺς

book 553.3 παρασχεῖν

book 553.4 τοὺς λόγους δυνήσεται.

book 554 ἐλευθέρα γὰρ γλῶσσα τῶν ἐλευθέρων.

book 555 ἐλευθερία Διὸς ὄλβιον τέκος

book 556 αἰδὼς ἀπώλες’ αὐτόν, ἐρρέτω, κακή· πολλὴν γὰρ αὐτὴν δειλὸς ὢν ἐκτήσατο.

book 557.1 τοῖς γὰρ κακῶς

book 557.2 πράσσουσιν οἱ σεμνοὶ λόγοι κόσμον μὲν ἂν δοίησαν· ἡ δ’ εὐπραξία ξὺν

book 557.3 τοῖς ἀναισχύντοισιν ὥρισται βίου.

book 558 ὦ παῖ, τὸ δεῖσθαι τῶν πέλας θνητοῖς μέγα διδασκαλεῖον τῆς ἀναιδείας ἔφυ.

book 559 εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος.

book 560 χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα.

book 561.1 ἦ̣ μήποτ’, ὦ παῖ Ζηνός, ἐς

book 561.2 ταὐτὸν μόλοις

book 562 γλώσσαργον ἦθος

book 563 Ἰνάχειον ἄστυ

book 564 ὀπισθόπους δίκη

book 565.1 αὔρα, θεῶν ὄχημα

book 565.2 τιμιώτατον

book 566.1 πάντας

book 566.2 σοφὸς νοῦς ἐξ ἀμηχάνων ἄγει καὶ πάντα κηλεῖ, κἂν ἀπώμοτός

book 566.3 τις ἦ̣.

book 567 ὅρκων ἐρῶσιν οὐδὲν εὐχερέστερον.

book 568.1 κλύδωνα

book 568.2 σαυτῷ προσφέρεις αὐθαίρετον.

book 569.1 Τεῦκρος δὲ τόξου

book 569.2 χρώμενος

book 569.3 φειδωλίᾳ ὑπὲρ τάφρου

book 569.4 πηδῶντας ἔστησεν

book 569.5 Φρύγας.

book 570 οἶνός μ’ ἔπεισε δαιμόνων ὑπέρτατος.

book 571

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρ’ οὐδενὸς γὰρ οὐδὲν ἡρμηνεύμεθα.
book 572 τοῖς καιρίοις γὰρ δεῖ λέγειν τὰ καίρια.
book 573.1 ὅστις καθ’ ἑτέρου δόλια μηχανεύεται, αὐτὸς καθ’ αὑτοῦ τοῦτο λανθάνει
book 573.2 ποιῶν.
book 574 ἅπαντα θάλλει καὶ πάλιν μαραίνεται.
book 575 ἄστυλος οἶκος
book 576 αἱροῦντες ᾑρήμεσθα
book 577.1 .. ἅπαντα
book 577.2 τοῖς
book 577.3 σοφοῖσιν εὔκολα.
book 579 εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθας.
book 580.1 κουρήτων
book 580.2 στόμα
book 581.1 φόνου
book 581.2 πτερόν
book 582 καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
book 583 ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.
book 584 ἀγένειος
book 585 ἀλεκτορίς
book 586 ἀμφίκαυτις
book 587 ἀνώπια
book 588 ἐριούνης
book 589 εὐναία
book 590 Ἥρυλλος
book 591 καθηγητής
book 592 μαγείαν
book 593 μαίμακον
book 594 οἰκοδέγμων
book 595 πέλλη
book 596 περίστασις
book 597 πολυβέλεμνοι
book 598 στολοκρατές
book 599 ταλαπείριος
book 600 ὑπέρτερος
book 601 χορταιοβάμων
book 602 ψυχορροφεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org